## PLATO

### XXIX [II p. 296B.]

ἁ σφραγὶς ὑάκινθος, Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ
καὶ Δάφνη. ποτέρου μᾶλλον ὁ Λητοΐδας;

### XXX [II p. 295B.]

ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγής
ἦγε πόδας χρήσας, ὄμματα χρησάμενος.

### XXXI [18B., 12D.]

χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρών
ῥίψεν, ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

## ASTYDAMAS

### I [II p. 326B., I i 113D.]

εἴθ' ἐγὼ ἐν κείνοις γενόμην ἢ κεῖνοι ἅμ' ἡμῖν
οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν,
ὡς ἐπ' ἀληθείας ἐκρίθην ἀφεθεὶς παράμιλλος·
νῦν δὲ χρόνῳ προέχουσ', οἷς φθόνος οὐχ ἕπεται.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415776481/63 UNIVERSITÄT LEIPZIG